καὶ ἀπραγμοσύνην αἱρουμένου καὶ ὀλιγοπραγμοσύνην,
εἶτα συνιππαζομένου Σκύθαις καὶ τὰ τῶν ἐν Βοσπόρῳ
τυράννων πράττοντος ἐξ οἱασδήτινος ἀνάγκης· ‘ὅτι γάρ’
φησί ‘καὶ στρατεύσεται μετὰ δυναστῶν καὶ βιώσεται, πά-
D λιν ἐπισκεψώμεθα τούτων ἐχόμενοι, τινῶν μὲν οὐδὲ ταῦτ’
ὑπονοούντων διὰ τοὺς ὁμοίους ὑπολογισμούς, ἡμῶν δὲ καὶ
ταῦτ’ ἀπολιπόντων διὰ τοὺς παραπλησίους λόγους.’ καὶ
μετὰ μικρόν· ‘οὐ μόνον δὲ μετὰ τῶν προκεκοφότων ἐπὶ
ποσὸν καὶ ἐν ἀγωγαῖς καὶ ἐν ἔθεσι ποιοῖς γεγονότων, οἷον
παρὰ Λεύκωνι καὶ Ἰδανθύρσῳ.’ Καλλισθένει τινὲς ἐγκα-
λοῦσιν, ὅτι πρὸς Ἀλέξανδρον ἔπλευσεν ἐλπίζων ἀναστήσειν
Ὄλυνθον, ὡς Στάγειρα Ἀριστοτέλης· Ἔφορον δὲ καὶ
Ξενοκράτη καὶ Μενέδημον ἐπαινοῦσι παραιτησαμένους τὸν
Ἀλέξανδρον· ὁ δὲ Χρύσιππος ἕνεκα χρηματισμοῦ τὸν σο-
φὸν ἐπὶ κεφαλὴν ἐς Παντικάπαιον ὠθεῖ καὶ τὴν ‘Σκυθῶν
E ἐρημίαν’. ὅτι γὰρ ἐργασίας ἕνεκα καὶ χρηματισμοῦ ταῦτα
ποιεῖ, καὶ προδεδήλωκε τρεῖς ὑποθέμενος ἁρμόζοντας μά-
λιστα τῷ σοφῷ χρηματισμούς, τὸν ἀπὸ βασιλείας καὶ τὸν
ἀπὸ φίλων καὶ τρίτον ἐπὶ τούτοις τὸν ἀπὸ σοφιστείας.
καίτοι πολλαχοῦ μὲν ἀποκναίει ταῦτ’ ἐπαινῶν (Eur.
fr. 892)·

‘ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνον,
Δήμητρος ἀκτῆς πώματός θ’ ὑδρηχόου;’